## ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐπιστροφὴ Κύρου εἰς Πέρσας, ἀνάκλησις αὐτοῦ εἰς Μήδους. Δημηγορία αὐτοῦ πρὸς Πέρσας.

Ὁ μὲν δὴ Κῦρος, οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν λέγεται ἔτι ἐν τοῖς παισὶ[459] γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν, ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοὶ ἡδέως[460], καὶ πίνοντα, καὶ εἴποτ᾽ ἐν ἑορτῇ εὐωχία προσγένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο ἢ προσδεόμενον, καὶ πρὸς τούτοις δὲ καὶ τἆλλα κρατιστεύοντα[461] αὐτὸν ἑώρων (περὶ ἅπαντα ἑαυτῶν)· ἐνταῦθα[462] δὴ πάλιν ὑπέπτησσον[463] οἱ ἥλικες αὐτῷ. Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην[464], ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ μελετῶν ἃ χρὴ, καὶ καρτερῶν ἃ ἔδει[465], καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι.

Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κυαξάρης, ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφὸς, τὴν ἀρχὴν ἔλαβε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς, καταστρεψάμενος μὲν πάντας Σύρους, φῦλον οὐ μικρὸν[466], ὑπήκοον δὲ πεποιημένος τῶν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους, πολιορκῶν δὲ καὶ Βακτρίους[467], ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε ἂν τῶν πέριξ ῥᾳδίως ἄρξειν (ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο[468] ἐδόκει εἶναι).

Οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑφ᾽ ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον τῶν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδοκῶν, καὶ πρὸς Φρύγας ἀμφοτέρους[469], καὶ πρὸς Κᾶρας, καὶ Παφλαγόνας, καὶ Ἰνδοὺς δὲ, καὶ πρὸς Κίλικας[470], τὰ μὲν[471] διαβάλλων (πρὸς αὐτοὺς) τοὺς Μήδους καὶ Πέρσας, λέγων, ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτὸ, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν (καὶ συνεστήκοιεν εἰς ἓν), καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φθάσας[472] ἀσθενώσει, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντας[473] καταστρέψασθαι. Οἱ μὲν δὴ, καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται· οἱ δὲ, καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ ταῦτα[474] ἦν αὐτῷ.

Κυαξάρης δὲ, ὁ τοῦ Ἀςυάγους παῖς, ἐπεὶ ᾐσθάνετο τήν τ᾽ ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων[475] ἐφ᾽ ἑαυτὸν, αὐτός τε εὐθέως ὅσα[476] ἐδύνατο ἀντιπαρεσκευάζετο, καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινὸν[477]

---

459) Ὅτι διετέλεσεν ἓν ἔτος εἰς τὴν τάξιν τῶν παίδων. 460) Τρώγοντα εὐχαρίστως ὡς αὐτοὶ, δηλ. εὐαρεστούμενον νὰ τρώγῃ ὡς αὐτοί. 461) Καλήτερον ὄντα. 462) Ἀντὶ τότε. 463) Ὑπέκυψαν. 464) Τὴν μετὰ τῶν παίδων ἐκπαίδευσιν. 465) Ἐλλ. τῆς ἐπί. 466) Ὄντας. 467) Πάντα ταῦτα τὰ ἔθνη τῆς Μεγάλης Ἀσίας. 468) Τὸ τῶν Μήδων φ. 469) Ἦσαν δύω Φρυγίαι, ἡ μεγάλη καὶ ἡ παρὰ τὸν Ἑλλήσποντον. 470) Ὅλα Ἀσιανὰ ἔθνη. Συμβουλεύθητι γεωγραφ. πίνακα. 471) Κατὰ μέρος μέν. Ἡ φράσις ἀτελής. Τὰ μὲν, ἀπαιτεῖ τὰ δὲ, οἷον τὰ δὲ δώροις πείθων, ἢ ἄλλο τι τοιοῦτον. Ἀλλὰ κατὰ τὴν συνήθη ἀφέλειαν τοῦ λόγου του ὁ Ξενοφῶν παρέλιπε τὸ δεύτερον κῶλον. 472) Προλαβών. 473) Ὅτι οἱ Πέρσαι καὶ οἱ Μ. ἰόντες καταστρέφονται. 474) Τὰ χρήματα. 475) Συσσωματουμένων. Ἑαυτὸν δὲ διὰ τὸ ταὐτοπροσωπεῖν μὲ τὸ ὑποκείμενον. 476) Ἐλλ. τῆς κατά. 477) Τὴν βουλὴν τοῦ ἔθνους.